## Στιχηρὰ τῶν Αἴνων

1. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
2. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
3. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
4. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αίνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
5. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορ῀ῳ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
6. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

(Ἐν Κυριακ῀ῃ λέγομεν καὶ τοὺς ἐφεξῆς δύο Στίχους).

7. Ἀνάστηθ, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.
8. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Αν την Κυριακή συμπέσει μνήμη Αγίου, οπότε ψάλλονται τα τροπάρια αυτού στους αίνους μετά τα Αναστάσιμα, παραλείπονται οι δύο τελευταίοι στίχοι και αντ΄ αυτών λέγονται οι στίχοι των Αποστίχων του Εσπερινού, στίχοι της Θεοτόκου ή του Αγίου, αν υπάρχουν, και σε περίπτωση που δεν υπάρχουν λέγονται οι παρακάτω:

### Ἀποστόλων.

1. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ (ἢ αὐτῶν), καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ (ἢ αὐτῶν).

2. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

῾ Ιεραρχῶν.

1. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
2. Οἱ ἱερεῖς σου Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

ἤ Στόμα Δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας.

Μεγαλομαρτύρων.

1. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
2. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.

Μαρτύρων.

1. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
2. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

῾ Οσίων ἀνδρῶν.

1. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.
2. Τίμιος ἐναντίον Κύριου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Μαρτύρων ἤ Ὁσίων γυναικῶν.

1. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.
2. ἔστησαν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματὰ μου.

Δόξα ... Το Εωθινό της Κυριακής, (ή του Τριωδίου ή του Πεντηκοσταρίου), ενίοτε της εορτής, ή του αγίου, ή όπως ορίζει το τυπικό.